# ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τα Τυπικά, οι Μακαρισμοί, και εκ των Κανόνων του Αγίου η γ’ και ς’ ωδή.

## Απόστολος

Προκείμενον. Ήχος βαρύς

Τίμιος εναντίον Κυρίου ο θάνατος των οσίων αυτού.

Στίχ. Τι ανταποδώσωμεν τω Κυρίω περί πάντων, ων ανταπέδωκεν ημίν.

Πρός Εφεσίους Επιστολής Παύλου το Ανάγνωσμα.

Εφ. 5,8-19

Αδελφοί, ως τέκνα φωτός περιπατείτε (ο γαρ καρπός του Πνεύματος εν πάση αγαθωσύνη καί δικαιοσύνη και αληθεία), δοκιμάζοντες τι εστίν ευάρεστον τω Κυρίω. Και μη συγκοινωνείτε τοις έργοις τοις ακάρποις του σκότους, μάλλον δε και ελέγχετε. Τα γαρ κρυφή γινόμενα υπ' αυτών, αισχρόν εστί καί λέγειν. Τα δε πάντα ελεγχόμενα, υπό του φωτός φανερούται, παν γαρ το φανερούμενον, φως εστί. Διό λέγει, Έγειρε ο καθεύδων, και ανάστα εκ των νεκρών, και επιφαύσει σοι ο Χριστός. Βλέπετε ουν πώς ακριβώς περιπατείτε, μη ως άσοφοι, αλλ' ως σοφοί, εξαγοραζόμενοι τον καιρόν, ότι αι ημέραι πονηραί εισί. Διά τούτο μη γίνεσθε άφρονες, αλλά συνιέντες τι το θέλημα του Κυρίου. Καί μη μεθύσκεσθε οίνω, εν ω εστίν ασωτία, αλλά πληρούσθε εν Πνεύματι, λαλούντες εαυτοίς ψαλμοίς καί ύμνοις, και ωδαίς πνευματικαίς, άδοντες και ψάλλοντες εν τη καρδία υμών τω Κυρίω.

Αλληλούϊα. Ήχος α'.

Οι Ιερείς σου Κύριε ενδύσονται δικαιοσύνην και οι όσιοί σου αγαλλιάσονται.

Στίχ. Ότι εξελέξατο Κύριος την Σιών.

## Ευαγγέλιον

Εκ του κατά Ματθαίον

4,25-5,12

Τω καιρώ εκείνω ηκολούθησαν τω Ιησού όχλοι πολλοί από της Γαλιλαίας, και Δεκαπόλεως, και Ιεροσολύμων, και Ιουδαίας, καί πέραν του Ιορδανού. Ιδών δε τους όχλους, ανέβη εις το όρος, και καθίσαντος αυτού, προσήλθαν αυτώ οι Μαθηταί αυτού. Και

ανοίξας το στόμα αυτού, εδίδασκεν αυτούς, λέγων. Μακάριοι οι πτωχοί τω πνεύματι, ότι αυτών εστίν η βασιλεία των ουρανών. Μακάριοι οι πενθούντες, ότι αυτοί παρακληθήσονται. Μακάριοι οι πραείς, ότι αυτοί κληρονομήσουσι την γην. Μακάριοι οι πεινώντες και διψώντες την δικαιοσύνην, ότι αυτοί χορτασθήσονται. Μακάριοι οι ελεήμονες, ότι αυτοί ελεηθήσονται. Μακάριοι οι καθαροί τη καρδία, ότι αυτοί τον Θεόν όψονται. Μακάριοι οι ειρηνοποιοί, ότι αυτοί υιοί Θεού κληθήσονται. Μα-κάριοι οι δεδιωγμένοι ένεκεν δικαιοσύνης, ότι αυτών εστίν η βασιλεία των ουρανών. Μακάριοι εστέ, όταν ονειδίσωσιν υμάς και διώξωσι, και είπωσι παν πονηρόν ρήμα καθ' υμών ψευδό-μενοι, ένεκεν εμού. Χαίρετε και αγαλλιάσθε, ότι ο μισθός υμών πολύς εν τοις ουρανοίς.

## Κοινωνικόν

Εις μνημόσυνον αιώνιον έσται δίκαιος. Αλληλούϊα.

## Μεγαλυνάρια

Ώφθης Εκκλησίας νέος αστήρ, εν εσχάτοις χρόνοις, τη οσια σου βιοτή, όθεν καταυγάζεις, πιστών τας διανοίας, ταις νοηταίς ακτίσι Πάτερ Νεκτάριε.

Χάριτι θαυμάτων παρά Χριστού, λαμπρώς εδοξάσθης, μετά τέλος σου το σεπτόν, όθεν των λειψάνων, η θήκη σου πηγάζει, ιάματα ποικίλα, Πάτερ, τοις πάσχουσι.

Φύλαττε και σκέπε την σην Μονην, Νεκτάριε Πάτερ, την τιμώσαν σε ευλαβώς, και αεί ευλόγει, την νήσον της Αιγίνης, και πάσαν την Ελλάδα τη αντιλήψει σου.

## Απόλυσις